ποι· μέλι καὶ κηρὸν λαμβάνοντες. Τὸ μὲν οὖν πλῆθος τῶν μελισσῶν ἑσμὸς καλεῖται καὶ σμῆνος, ἔνθα δὲ οἰκοῦσι, σίμβλα καὶ σίμβλοι· καὶ τὸ μὲν ἔργον αὐτῶν, μελιπτουργεῖν· βλήττειν δὲ, τὸ καπνίζειν καὶ ποιεῖν ἀναχωρεῖν. Καὶ ὁ μὲν ἡγεμὼν τῶν μελισσῶν βασιλεὺς λέγεται, ᾧ ἕπονται πᾶσαι· τὰ δὲ ἔκγονα, σχαδόνες, ὥσπερ καὶ τὰ ἀργὰ, κηφῆνες· τὰ δ' ἀγγεῖα κύτταροι· καὶ ὁ ἦχος βόμβος· καὶ τὰ ἔργα κηρία, μέλι, μελίκηρα.

## Ν'. Περὶ Μύλης.

Ἡ δὲ μύλη κατὰ τέσσαρας τρόπους ἀλήθει· τοὺς μὲν πυροὺς, καὶ ποιεῖ ἄλευρα, τὰς δὲ κριθὰς, καὶ ποιεῖ ἄλφιτα. Ἢ γὰρ διὰ χειρὸς, καὶ ὀνομάζεται χειρόμυλος, στρέφεται, στρογγύλος λίθος ἐπὶ στρογγύλου διὰ λαβῆς· ἢ δι' ὕδατος, καὶ καλεῖται μύλος ἁπλῷ ὀνόματι· ἢ δι' ἀνέμου, καὶ προσαγορεύεται ἀνεμόμυλος. ἔστι δ' ἔνθα καὶ ἐν νηΐ ὢν, ἀπὸ τόπου εἰς τόπον μετακομίζεται ἐπὶ ποταμῶν· κληθήτω δ' οὗτος ὁ μῦλος, ναυτικός.

## ΝΑ'. Περὶ Ἀρτοποιΐας.

Ὁ δὲ ἀρτοποιὸς, πρῶτον μὲν κοσκινίζει διὰ κοσκίνου τὸ ἄλευρον, διαιρῶν τῶν πιτύρων· εἶτα εἰς σκάφην ἐνθεὶς, ζυμοῖ, καὶ ζύμην ποιεῖ· ᾗ χρῆται πρὸς ὅλον τὸ φύραμα· κἀκ τούτου ζυμωθέντος, πλάττει ἐπὶ τοῦ πλαθάνου, καὶ ποιεῖ ἄρτους· οὓς διὰ τοῦ πτύου εἰς κλίβανον κεκαυμένον ἐμβάλλει· ἐκφορήσας πρῶτον τοὺς ἄνθρακας, καὶ τῇ ἀπομάκτρᾳ περικαθάρας τὸν κλίβανον. Τοῦ δὲ ἄρτου τοῦ μὲν ἔξω τὸ ἄνω λέγεται ἀττάραγος· τὸ δὲ κάτω, ἐψηθίαι· τὸ δ' ἐντὸς ψὶξ ἢ ψίχη· τεμάχια δὲ ἄρτων τὰ τμήματα· καὶ θρύμματα τὰ ἐκ τούτων· καὶ τὰ λεπτότατα ψιχία.

## ΝΒ'. Περὶ Ἁλιευτικῆς.

Ὁ δὲ ἁλιεὺς ἀγρεύει τοὺς ἰχθῦς, ἤτοι ἐπὶ πέτρας καθήμενος,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.ξ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διὰ καλάμων ὁρμιᾷ τὸ ἄγγυστρον σὺν τῷ δελέατι ἐχόντων ἐπικρεμάμενον ἐν τῷ ὕδατι· ἢ βύλῳ, ἢ κάμακι, εἰς τὸ ὕδωρ ἐπαφείς· ἢ δικτύῳ, εἰς θάλασσαν χαλάσας, ἢ ἀμφιβλήστρῳ· καὶ τοῖς τοιούτοις.

## ΝΓ΄. Περὶ Ὀρνηθοθηρευτικῆς.

Ὁ δ' ὀρνηθοθήρας πολυτρόπως ἀγρεύει τοὺς ὄρνεις· δικτύοις, παγίσιν, ἰξώδεσι καλάμοις, βρόχοις, καὶ τοῖς τοιούτοις. Τὰ μὲν γὰρ ἐν τοῖς ἀγροῖς, ἢ ἐν ἄλῳς ἐκτείνει· τὰς δὲ ἵστησιν, ἔνθα αὐτῷ δοκεῖ εὖ ἔχον πρὸς θήραν ὀρνίθων· τοὺς δ' ἰξοὺς, ἐπὶ τῶν δένδρων, ἔνθα καθήμεναι αἱ ὄρνιθες, κολλῶνται τούς τε πόδας καὶ πτέρογας, βουλόμεναι ἵπτασθαι· τοὺς δὲ βρόχους καὶ ἐπὶ στέγης ἔστιν ἐκθεῖναι, καὶ ὁπουδηποτοῦν· ἔστι δὲ καὶ τοξεύοντας ὄρνεις θηρᾷν· καὶ ὡς ἂν ἄλως ἐγχωροίη.

## ΝΔ΄. Περὶ θήρας.

Ὁ δὲ θηρευτὴς θηρεύει οὕτως· ἤτοι γὰρ τὴν ὕλην περικαταλαμβάνει δικτύοις, καὶ στάλιξιν ἐκτεινομένοις, ἐν οἷς, τῶν θηρευτικῶν κυνῶν ἰχνηλατουσῶν, καὶ διωκουσῶν, ἐμπίπτει ἡ θήρα εἰς τὰ δίκτυα· ἢ βόθρους καὶ λάκκους ὀρύσσει, εἰς οὓς ἐμπίπτει· ἢ κύνας ἔχων, αἳ τοῖς ἴχνεσιν ἢ τῇ ὀσφρήσει τεκμαιρόμεναι, (εὔρινες γὰρ) ἀνιχνεύουσι· καὶ διώκουσαι καταλαμβάνουσι τὰς θήρας. ἢ ὡς ἂν ἄλλως τὰ τῆς χρείας διδάσκοι.

## ΝΕ΄. Περὶ Σφαγίου.

Ὁ δὲ κρεοπῶλος σφάζει τῶν κτηνῶν τὰ εὐτραφῆ μάλιστα τῇ μα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. τῆς Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

χαίρᾳ· (τὰ γὰρ ἰσχνὰ, καὶ λεπτόσαρκα οὐκ ἐπιτήδεια εἰς τροφήν·) ἐκδέρει αὐτὰ, καὶ ἀνατέμνει, ἐξαιρῶν τὰ σπλάγχνα, καὶ οὕτω προτίθησιν εἰς πώλησιν· τὸν δὲ χοῖρον οὐκ ἐκδέρει, ἀλλ' ἢ πυρὶ φρίττει, καὶ ἐξαφανίζει τὰς τρίχας, ἢ ὕδατι ζέοντι ἐμβαπτίσας ἐν σκάφῃ, ἐκτίλλει αὐτοῦ τὰς τρίχας· οὗ τοὺς μηροὺς ἐκταμὼν, ταριχεύει· τὰ δ' ἔντερα ἐμπιπλὰς, ποιεῖ ἀλλάντας, καὶ φύσκους· τὴν δὲ πιμελὴν καὶ τὸ στέαρ ἐκτήκει· ἅπερ ἁλσὶ πασσόμενα, εἰς διάφορον ἥκει χρῆσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΝϚʹ. Περὶ Μαγειρικῆς.

Ὁ δὲ μάγειρος τὰ μὲν κρέα παρὰ τοῦ κρεοπώλου ὠνεῖται, τὰ δὲ λοιπὰ, ὅσα αὐτῷ πρὸς μαγειρικὴν ἀναγκαῖα, παρὰ τοῦ ταμειούχου, ἐν τῷ ταμείῳ αὐτὰ φυλάττοντος, λαμβάνει· καὶ ἕψει, ποικίλα ἐδέσματα ποιῶν. Καὶ τὰ μὲν πτηνὰ τίλλει πρῶτον καὶ ἐξεντερίζει· τοὺς δὲ ἰχθῦς λεπίζει, καὶ ῥαχίζει· τοὺς δὲ λαγωοὺς, καὶ τῶν τετραπόδων τὰ λοιπὰ ἐκδέρει· εἶτα εἰς χύτρας, ἢ ἐν λέβεσιν, ἢ εἰς κακκάβας ἐνθεὶς, ἀναβράσει· ἢ ἐπὶ ἐσχάρας ὀπτᾷ, πυρὸς ὑποκειμένου· καὶ τῇ ζωμηρίσει τὸν ἀφρὸν ἀπὸ τοῦ ἀναβραζομένου ἀφαιρεῖ· οἷς καὶ ἀρτύματα προστίθησι καρυκεύων· καὶ ἀρώματα δὲ, εἰς κόνιν ποιήσας πρότερον ἐν τῷ ὅλμῳ διὰ τοῦ ὑπέρου, ἢ λεπτὰ ποιεῖ διὰ τῆς τυροκνηστίδος. Ἃ δὲ ὀπτᾷ, ἐν ὀβελοῖς περιπείρει, καὶ πρὸς τοῖς ἄνθραξιν ἔχων, περιστρέφει τοὺς ὀβελίσκους, ἢ ἐπὶ ἐσχάρας τιθέμενος. Τὰ δὲ λοιπὰ μαγείρων σκεύη τάδε· τὸ πυρφόρον, ἡ ἁρπάγη, πίνακες, παροψίδες, ἢ τρυβλία, λεκάνια, πυράγρα, μάχαιρα, ταῤῥὸς, κόφινος, σάρωθρον.

## ΝΖʹ. Περὶ Τρυγητοῦ.

Καιροῦ ἐνεστῶτος τοῦ τρυγητοῦ, ὁ ἀμπελουργὸς μισθούμενος

Ε.Ο.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τρυγητῆρας, ἀπερχόμενος εἰς τὸν ἀμπελῶνα, τρυγᾷ ἐκ τῶν ἀμπέλων τοὺς βότρυας, κοφίνοις ἐντιθέμενος, καὶ εἰς ληνὸν ἐμβαλὼν, πατεῖ τοῖς ποσὶ, ἢ πτίσσει ξυλίνῳ ὑπέρῳ, καὶ τὸ γλεῦκος ἐκθλίβει, ὃ εἰς πύθους ἐντίθησι διὰ κάδων μεταγγίζων, ἐν τῷ οἰνῶνι ὑπάρχοντας. Ἔστι δὲ καὶ ἀγγεῖά τινα μέγιστα ἐκ σανίδων, κυλινδροειδῆ, στεφάνοις ξυλίνοις ἢ σιδηροῖς περιεσφιγμένα, ἅπερ εἰκότως ἂν βίκοι κληθεῖεν, δι᾽ ἔλλειψιν ὀνόματος· ἐν οἷς ὁ οἶνος τίθεται· σίφων δὲ, ἡ σύριγξ ἐν τῷ ἔμπροσθεν κύκλῳ τοῦ κυλινδροειδοῦς βίκου τιθέμενος, δίδωσιν εὐχερῶς δι᾽ αὐτοῦ ἀρύεσθαι τὸν οἶνον, καὶ χρῆσθαι αὐτῷ.

## ΝΗ΄. Περὶ Ζυθοποιΐας.

Οἴνου ἀπορίᾳ τὸν ζῦθον ἐτεχνεύσαντο ἄνθρωποι, ποτὸν ἐκ βύνης καὶ βρύου γινόμενον ἑψομένων ἐν λέβητι, καὶ εἰς πύθους, ἢ βίκους ἐγχεόμενον, καλεῖται δὲ ζῦθος. Ἔτι καὶ ἐξ οἴνου ἢ τρυγίου, ἢ ἐκ τῶν στεμφύλων, ὅσα καταλείπεται, ἀποθλιβεισῶν τῶν σταφυλῶν, πνεῦμά τι οἴνου ἐργάζονται ἄνθρωποι, ἐν λέβητι τιθέντες καὶ ἐπὶ πυρὸς· οὕτω γὰρ διὰ σωλῆνος ἐκστάζει τὸ τοῦ οἴνου πνεῦμα, ὅπερ πνεύμοινον εἰκότως ἂν κληθείη· ὃ εἰς ἀγγεῖα ἐντιθέμενον φυλάττουσι, καὶ πίνουσιν, οὐ πολύ δέ τι κατ᾽ οἶνον· δι᾽ ὀλιγίστου γὰρ μεθύσκονται. Τοῦτο δὲ καὶ ἐκ κομάρων καρποῦ, καὶ δαμασκηνῶν γίνεται, καὶ κριθῆς, καὶ τῶν τοιούτων. Ὁ δέ τοι οἶνος ἢ ὁ ζῦθος ὀξυνόμενος, ὄξος γίνεται.

## ΝΘ΄. Περὶ Συμποσίου.

Παρασκευαζομένοις συμπόσιον ἢ δεῖπνον, ἐπὶ τὴν τράπεζαν τάπητες, ἢ ὀθόνη τραπεζία τίθεται· τούτοις δὲ ἐπιτίθενται δίσκοι, κοχλιάρια, μαχαιρίδες, δίκρανα ἢ τρίκανα, ἐκμαγεῖα, ἄρτοι, ἁλοδοχεῖα· τὰ δὲ ἐδέσματα, ἐπὶ πινάκων ἢ λοπάδων προσφέρεται· ὧν ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΥ ΝΕΟΕΛΛΗΝΙΚΟΥ ΔΙΑΦΩΤΙΣΜΟΥ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. ΠΕΤΣΙΟΣ Κ. Θ. Π. ΙΩΑΝΝΙΝΑ 2006

ζωμὸς πρότερος. Οἱ δὲ δαιτυμόνες, τοῦ ἑστιάτορος προσκαλέσαντος, πρῶτον νίπτουσι τὰς χεῖρας ἐν τῇ λεκάνῃ διὰ τοῦ προχόου, καὶ ἀπομάσσουσι τῷ χειρομάκτρῳ· εἶτα καθίζουσιν ἐπὶ ἑδρῶν, παρὰ τῇ τραπέζῃ ἀνακλινόμενοι· καὶ ὁ δαιτρὸς μιστύλλων, διανέμει τὰ σιτία· ἐν δὲ τοῖς ὀπτοῖς τὰ ἐμβάματα, ἢ ὀξύβαφα ἐν παροψιδίοις παρατίθεται. Ὁ δ' οἰνοχόος ἐκ κρατῆρος ἐγχεῖ τὸν οἶνον εἰς κυάθους ἢ σκύφους ἢ ἐκπώματα ἐξ ὑέλου, ἢ ἄλλης τινὸς ὕλης κατεργασμένα· καὶ ὀρέγει τὴν κύλικα ἢ φιάλην τῷ ἑστιάτορι, ὅς τις προπίνει τοῖς δαιτυμόσι, καὶ φιλοτησίας ἀπάρχεται.

## Ξ΄. Περὶ Λινουργικῆς.

Τὸ δὲ λίνον, καὶ ὁ κάνναβος τίθεται ἐν τοῖς ὕδασιν· εἶτα εἰς ἥλιον ξηρανθέντα, τῷ μαγγάνῳ συντρίβεται· καὶ τὸ μὲν ἐν αὐτοῖς σκληρὸν ἐκπίπτει· ἀπολείπεται δὲ, δι' οὗ νήματα νήθονται· εἶτα κτενίζουσι, καὶ ἀποκρίνουσι τὰ στυπεῖα. Οὕτως ἑτοίμων γενομένων τῶν ἠλακατῶν, ἡ χερνῆτις περιτίθησιν ἑκάστῃ ἐπὶ γέροντος, εἶτα ἐξάπτουσα τῷ ἀτράκτῳ σφόνδυλον ἔχοντι, τῇ μὲν δεξιᾷ περιστρέφει τοῖς δακτύλοις, τῇ δ' ἀριστερᾷ ἕλκει τὸ λῖνον, καὶ μῖτον ἐξ αὐτοῦ ποιεῖται· ὃν ἔπειτα εἰς ῥόμβον συνάγει, καὶ δέσμας ποιεῖ. Τὸ δ' ἐπίνητρον στρέφουσα ἢ ὄνον, νήθει τὸν πάμβακα, καὶ ἀγαθίδας ποιεῖ.

## ΞΑ΄. Περὶ Ἱστουργίας.

Ὁ δὲ Ὑφάντης συνάγει εἰς στήμονα τὰς ἀγαθίδας· στήσας αὐτὸν, καὶ περιειλίσας τῷ ἀντίῳ, καὶ τοῖς ἠτρίοις διαπεράσας, καὶ διὰ τῶν τῆς κτενὸς ἢ σπάθης ὀδόντων, ἐντίθησιν εἰς τὸν ἐργάτην, καὶ ἐντείνας, καὶ τοῖς ποσὶ πατῶν τοὺς ὑποβάτας, διίησι τὴν κερκίδα, ἐν ᾗ κρόκη ἐστὶ, καὶ τῇ κτενὶ τύπτων πυκνοῖ, πήχεις προσαρμόζων, ἵνα τὸ ἴσον τοῦ πλάτους ἐπιμετρῇ· καὶ οὕτω ποιεῖ τὸν ἱστόν. Οὕτω

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Σπήλιος Π. ΙΩΑΝΝΙΝΑ 2006

δὲ καὶ ὁ ταλασιουργὸς ποιεῖ τὰ διὰ τοῦ ἐρίου ὑφάσματα. Τὸν δὲ ἱςὸν ἐν ὕδατι λευκαίνουσιν αἱ γυναῖκες· ὥσπερ καὶ τὸ ἐριοῦν ὕφασμα οἱ κναφεῖς, εἰς κνάφον ἐμβαλόντες, λευκαίνουσί τε ἅμα, καὶ καταπυκνοῦσι τὸ ὕφασμα.

## ΞΒʹ. Περὶ Ἀκέστου.

Ὁ δ' ἀκέστης τῇ ψαλίδι διατέμνει τὰ ὑφάσματα, καὶ ῥάπτει τῇ βελόνῃ τὰ ἱμάτια, ῥάμμασι χρώμενος· εἶτα τὰς ῥαφὰς ἐκπεπυρωμένῳ σιδήρῳ λείῳ ἐξομαλίζει, καὶ οὕτω ποιεῖ χιτῶνας, καὶ διάφορα ἄλλα εἴδη ἱματίων ἀνδρῶν καὶ γυναικῶν, οἷς προστιθέασι πολλάκις καὶ κροσσωτοὺς, καὶ κράσπεδα. Τὸν ὅμοιον δὲ τρόπον καὶ ὁ διφθεροποιὸς, ἐκ δερμάτων διφθέρας καὶ μηλωτὰς καὶ σισύρας κατασκευάζει.

## ΞΓʹ. Περὶ Σκυτοτόμου.

Ὁ δὲ σκυτοτόμος περιτέμνει τῷ περιτομεῖ ἢ τῇ σμίλῃ τὸ σκῦτος πρὸς μέτρον τοῦ ποδὸς, διὰ τοῦ καλόποδος· καὶ συῤῥάπτει, ὀπὰς διὰ τοῦ ὀπητρίου ποιῶν, νήματι κηρῷ ἀληλειμένῳ· καὶ οὕτω κρηπίδας, καὶ ὑποδήματα ποιεῖ, καὶ πηλοβατίδας καὶ ἀσκέρας.

## ΞΔʹ. Περὶ Ὑλουργῶν.

Ὁ μὲν ξυλοτόμος κόπτει καὶ καταβάλλει τὰ δένδρα τῷ πελέκει, ἐξ ὧν τὰ φρύγανα μένει· σχίζει δὲ σφῆνα ἐντιθέμενος, καὶ τῷ ῥαιστῆρι ἐπικρούων. Ὁ δὲ ξυλουργὸς πελεκίζει τῷ σκεπάρνῳ, ἢ ῥυκάνῃ, εἴ τ' οὖν ἀξίνῃ, ὅθεν πελεκίσματα ἀποπηδῶσι· πρίει τῷ πρίονι, τῶν ῥινημάτων ἐπὶ γῆς πιπτόντων· τῇ ῥίνῃ ξύει· καὶ τῇ ἀρίδι τρυπᾷ· σχίζων δὲ τὰ ξύλα τῷ πρίονι, σανίδας ποιεῖ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΞΕ΄. Περὶ Τοιχοποιοῦ.

Ὁ δὲ τοιχοποιὸς τίθεται θεμέλιον, καὶ τοιχοῖ· ἤτοι λίθους ἁρμόττων, καὶ ἐποικοδομῶν, οὓς ὁ λιθοκόπος ἐν τῷ λατομείῳ ὀρύσσει· καὶ ὁ λιθουργὸς πρὸς μέτρον παρασκευάζεται· ἢ ἐκ πλίνθων τιτάνῳ μεμιγμένῳ ψάμμῳ δι᾽ ὕδατος συνηνωμμένων· εἶτα ἀλείφει, καὶ ἐπαλείφει τιτάνῳ γύψῳ ἡνωμμένῳ, ὡς λευκότερος γένηται ὁ τοῖχος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

## Ξϛ΄. Περὶ Οἰκίας.

Πρὶν ἢ οἴκους κατασκευάσαι, ἐν σπηλαίοις ᾤκουν οἱ ἄνθρωποι· εἶτα καὶ ἐν καλύβαις, ἔπειτα ἐν σκηναῖς, καὶ τελευταῖον ἐν οἴκοις. Τοῦ δὲ οἴκου μέρη ταῦτα. Πρὸ μὲν τῆς θύρας ἐστὶ τὸ προπύλαιον· θύρα ἡ αὔλειος, ἡ κηπαία· εἶτα οὐδὸς καὶ ἕδος, τὰ περὶ τὰς θύρας μέρη· τὰ δὲ ἑκατέρωθεν κατὰ πλευρὰν τῶν θυρῶν κείμενα ξύλα, σταθμοὶ, καὶ παραστάδες καλοῦνται· τὸ δὲ ὑπὲρ αὐτὰ, ὑπέρθυρον, τὸ δὲ ὑπ᾽ αὐτὰ, ὑπόθυρον. Ἔχει δὲ ἡ θύρα στρόφιγγας, ἀφ᾽ ὧν κρεμαμένη, στρέφεται, καὶ ἀνοίγεται καὶ κλείεται· καὶ κλεῖθρα, ἢ μοχλοὺς· καὶ δι᾽ ὧν τὰ κλεῖθρα κλείεται, κλεῖδες λέγονται. Ἔστι δὲ καί τι ξύλινον, ἄνωθεν κατιὸν καὶ κλεῖον τὴν θύραν, κόραξ καλούμενον. Μετὰ δὲ τὴν προαύλειον θύραν αὐλή ἐστιν, ἐν ᾗ τὸ ἔδαφος πολλάκις ἐστὶ λιθόστρωτον. Ἔνθα δὲ στῦλοι εἰσὶν ἢ κίονες, περίστυλον, ἢ περικίων ὁ τόπος καλεῖται. Διὰ δὲ τῶν τῆς κλίμακος βαθμίδων ἀναβαίνομεν καὶ καταβαίνομεν εἰς τὸ ὑπερῷον, ἔνθα δώματα πολλὰ, θύρας ἕκαστον ἔχοντα εἰς εἰσέλευσιν, καὶ θυρίδας, δι᾽ ὧν εἰσέρχεται φῶς. Αἱ δὲ προβολαὶ τῶν ὑπερῴων οἰκημάτων αἱ ὑπὲρ τοὺς κάτω τοίχους προὔχουσαι, γεισιποδίσματα, καὶ τὰ φέροντα ξύλα, γεισίποδες λέγονται· τὸ δὲ πάντων ἀνώτατον τέγος καλεῖται, πλαξὶν, ἢ κεράμοις, ἢ σχίδαξιν ἐστεγασμένον· ἃ ταῖς δοκίσι, κἀκεῖναι ταῖς δοκοῖς ἐπίκεινται. Τὰ δὲ τοῦ τέγους προὔχοντα, ὥστε καὶ ὄμβρον

Ε.Υ. της τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀπεῤῥύκειν, προτεγίσματα. Καὶ τὸ μὲν ὑπὸ τοὺς πόδας καλεῖται ἔδαφος· τὸ δ' ὑπὲρ κεφαλὴν ὄροφος, καὶ ὀροφὴ, καὶ στέγη.

## ΞΖ΄. Περὶ τῶν τοῦ οἴκου μερῶν.

Μέρη δὲ τοῦ οἴκου· προαύλιον, μαγειρεῖον, ταμεῖον, ἀποθήκη, δειπνητήριον, ἢ συμπόσιον, ἢ συσσίτιον, καμάρα, ἀνδρωνῖτις, γυναικωνῖτις, κοιτὼν, εὐμάρεια ἢ ἀφοδευτήριον. Σκεύη δέ· κόφινοι, σπυρίδες, κιβωτοί. Ἐν δὲ τῇ αὐλῇ ἐστι σταθμὸς, βαλανεῖον, φρέαρ, οἰνών. Καὶ ἐν μὲν τῷ κοιτῶνι ἡ κλίνη ἐστὶν, ἔνθα τὰ στρώματα, καὶ προσκεφάλαια, τὰ ἐφαπλώματα, καὶ αἱ σινδόνες. Αὕτη δὲ τῷ κωνοπείῳ περικαλύπτεται, ὑπ' αὐτῆς δὲ τίθεται καὶ ἡ ἀμὶς πρὸς τὸ οὐρεῖν νυκτὸς, εἰ τύχοι, ἀναγκαία.

## ΞΗ΄. Περὶ Φρέατος.

Τὰ δὲ φρέατά εἰσιν ἀναγκαῖα, ἐλλείψει πηγῶν. Ταῦτα δὲ ἄμβωνι περιβάλλεται, ἵνα μή τις λαθὼν ἐμπέσῃ· ἐκ τούτων ἀρύεται τὸ ὕδωρ ἀντλητηρίοις, ἐκ κάμακος ἢ σχοινίου ἢ ἀλύσεως κρεμαμένοις· ταῦτα δ' αὖ ἤτοι ἐπὶ κηλωνίῳ τίθεται, ἢ ῥόμβῳ, ἢ κυλίνδρῳ λαβὴν ἔχοντι, ἢ τροχῷ περιτίθεται, ἢ τέως ἀντλίᾳ ἀντλεῖται τὸ ἐκ φρεάτων ὕδωρ.

## ΞΘ΄. Περὶ Ἱπποστασίου.

Ὁ ἱπποκόμος ἐκφορεῖ ἐκ τοῦ ἱπποστασίου τὴν κόπρον· κημῷ προσδεῖ τὸν ἵππον πρὸς τῇ φάτνῃ, παραβάλλει αὐτῷ κριθὰς, ἢ ζειὰς ἢ ὀλύρας, καὶ χόρτον, ἢ χιλὸν, ἢ ἄχυρον. Καὶ ῥακίῳ μὲν απομάττει, ξυστίδι δὲ ἀποψᾷ· ἐφορᾷ τὰς ὁπλὰς, καὶ καθαίρει τὴν χελιδόνα, καὶ περιχειλοῖ σιδήρῳ· χαλινὸν τῷ στόματι περιτίθησι, καὶ ἐπισάττει, ἐπιθέμενος τὸ ἐπίσαγμα.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
E. Γκότσης ΙΩΑΝΝΙΝΑ 2006

## Ό. Περὶ Ἱππέως.

Ὁ δὲ ἱππεὺς ἐπισάττει τὸν ἵππον, τὸ ἐφίππειον ἐπιτιθέμενος καὶ ὑποζωννύων τῷ μασχαλιστῆρι, καὶ στρωννύων τῷ ἐπινωτίῳ, καὶ τοῖς φαλάροις καὶ τῷ κεφαλοδέσμῳ κοσμῶν, καὶ τῷ προστερνιδίῳ, καὶ τῇ ὑπουρίδι· εἶτ' ἐπιβαίνει τοῦ ἵππου, ἀναβολεῦσι στηριζόμενος· καὶ τῇ ἀριστερᾷ τὰς ἡνίας τοῦ χαλινοῦ κατέχει, δι' ὧν χαλιναγωγεῖ τὸν ἵππον, καὶ τοῖς μύωψιν, εἰ τ' οὖν τοῖς πλήκτροις κεντᾷ· καὶ τῇ μὲν ὑστριχίδι πλήττει· τῇ δ' ἐπιστομίδι εἴργει· αὐτὸς δὲ χλαμύδι περιβάλλεται. Εἰ δέ τις ἡμεροδρόμος εἴη, θεῖ ὡς τάχιστα, ἔφιππος ὤν.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΟΑ. Περὶ Ὀχημάτων.

Τῶν δ' ὀχημάτων τὸ μὲν δύο ἔχον τροχοὺς, ὄχος λέγεται· τὸ δὲ τέσσαρας, ἅρμα, ἢ ἅμαξα. Τῆς δ' ἁμάξης μέρη, ὁ ῥυμὸς, ὁ ζυγὸς, αἱ ζεῦγλαι· οἱ ἄξονες, περὶ οὓς οἱ τροχοὶ στρέφονται· ὧν αἱ ἐνηρμοσμέναι ῥάβδοι κνῆμαι καλοῦνται· τὸ δὲ κενὸν αὐτῶν τὸ ἐναρμοζόμενον τῷ ἄξονι σύριγξ· ἀψὶς δὲ ἡ περιφέρεια τῶν τροχῶν· τὸ δ' ἐφ' ἑκάστῃ κνήμῃ σιδηροῦν, ἀετός· πλήμνη δὲ, τὸ περιειλούμενον τῷ ἄξονι· τὸ δὲ κωλύον τὸν τροχὸν ἐκπίπτειν, ἐμπεπηγμένον τῷ ἄξονι σιδήριον, παραξόνιος, ἢ ἐπίβολος· ἢ ἔμβολος. Οὗ ὁ δεσμὸς ἐμβολοδέτης. Δίφρος δὲ λέγεται τὸ ἐπὶ τῆς ἁμάξης, ἐφ' οὗ κάθηνται ἄνθρωποι· ἄντυξ δὲ τὸ ὑπερκείμενον κοῖλον, καὶ ἴτυς τὸ περιφερές.

## ΟΒ'. Περὶ Ἡνιοχίας.

Ὁ ἡνίοχος ἐπισάττει τοὺς ἵππους, καὶ ζευγνύων αὐτοὺς, καθίζει ἐπὶ τοῦ σεσαγμένου, καὶ διευθύνει ταῖς ἡνίαις. Εἰς δὲ τὸ εὐχερῶς κυλίεσθαι τοὺς τροχοὺς, ὀξυγγίῳ χρίει· ἐν δὲ τῇ καταβάσει,

Ε.Γ.Α της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

κατέχει τῇ τροχοπέδῃ. Καὶ ἐὰν μὲν τέσσαρες ὦσιν οἱ ἕλκοντες τὸ ἅρμα ἵπποι, τέθριππον καλεῖται· ἐὰν δὲ ἕξ, ἕξιππον. Ὃ δὲ, ἐπὶ δύο ἵππων τιθέμενον, ἕλκεται, φορεῖον καὶ ἀνακλιντήριον καλεῖται· ὃ δὴ ἐν ταῖς πόλεσιν ἄνδρες βαστάζοι βαστάζουσιν. Ἐν δὲ ἀβάτοις τόποις καὶ ὄρεσιν ἀνθ' ἁμαξῶν σαγμαρίοις χρῶνται.

## ΟΓ'. Περὶ Ὁδοιπόρου.

Ὁ δὲ ὁδοιπόρος βαστάζει ἐπὶ τῶν ὤμων ἐν ἀσκοπήρᾳ, ὅσα ἐν ἀργυροθήκῃ ἢ μαρσιπίῳ οὐ χωρεῖ· ἐνδεδυμένος διφθέρᾳ, καὶ βακτηρίαν ἐν τῇ χειρὶ φέρων, καὶ ἐφόδια ἔχων μεθ' ἑαυτοῦ, οὕτω τὴν ὁδοιπορίαν ποιεῖται. Πολλάκις δὲ καὶ συνοδοιπόρους ἔχει. Ἔστι δ' ὅτε ἐπίτηδες παραιτεῖται τῆς ὁδοῦ, καὶ ἔρχεται τῆς ἀτραποῦ, τοῦ συντόμου χάριν· καὶ μάλιστα ὁπότε τρίβος ἐστὶν, ὑπὸ πολλῶν πεπατημένη. Τὰ δ' ἄβατα καὶ αἱ δίοδοι ἀπατηλαὶ πολλάκις εἰσὶ, καὶ εἰς δυσχωρίας ἄγουσιν. Ὅθεν ὁ ὁδοιπόρος ἐρωτᾷ, εὖ ἥκων φρονήσεως, ὅσοις ἀπαντᾷ, ποῖ χρὴ βαδίζειν, καὶ εἴτις φόβος λῃστῶν, ἔν τε τῇ ὁδῷ, καὶ ἐν τοῖς ξενοδοχίοις, ἢ πανδοχείοις, ἔνθα διανυκτερεύειν καταναγκάζεται. Οἵ τε γὰρ ἄλλοι ὁδοιπόροι ἐροῦσιν αὐτῷ, εἴ τι εἰδοῖεν· καὶ ὁ πανδοχεὺς μάλιστα πάντων.

## ΟΔ'. Περὶ Χαλκέως ἢ σιδηρέως.

Οἱ παλαιοὶ χαλκεύειν τὸ σιδηρεύειν ἔλεγον, καὶ χαλκέας, τοὺς σιδηρέας, τοὺς τὸν σίδηρον ἐργαζομένους. Ὁ δὲ σιδηρεὺς ἢ χαλκεὺς τῇ φύσῃ φυσᾷ τὸ ἐν τῇ καμίνῳ πῦρ, ἔνθα σίδηρος καιόμενος, μαλάττεται· ὃν τῇ πυράγρᾳ ἕλκων ἐκ τοῦ πυρὸς, τίθησιν ἐπὶ τοῦ ἄκμονος, καὶ τῇ σφύρᾳ τύπτει. Ὅθεν ἐξάπτουσι σπινθῆρες· καὶ οὕτω παρασκευάζεται ἥλους, παττάλους, κλεῖδας, κλεῖθρα, κρίκους, ἁλύσεις, ζυγά· καὶ τὰ τοιαῦτα.



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ — ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ, ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ — ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ — ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΟΕʹ. Περὶ Τέκτονος, καὶ Τορευτοῦ·

Ὁ μὲν τέκτων τὰς σανίδας σκεπάρνῳ πελεκᾷ, καὶ ἐπὶ τραπέζης θέμενος, ὁμαλίζει ξυστῆρι, καὶ τῇ ἀρίδι τρυπᾷ, ἢ τῷ τρυπάνῳ καὶ τερέτρῳ, τῇ γλυφίδι γλύπτει, ταῖς περόναις ἑνοῖ, καὶ κολλᾷ τῇ κόλλῃ· καὶ τραπέζας, θρόνους, ἕδρα, κλίνας, καὶ τὰ τοιαῦτα κατασκευάζει. Ὁ δὲ τορευτὴς διὰ τοῦ τόρου τορεύει σφαίρας, σωλῆνας, καὶ διάφορα τοιαῦτα τορεύματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Οϛʹ. Περὶ Κεραμέως.

Ὁ δὲ κεραμεὺς καθήμενος ἐπιτίθησι πηλὸν τῷ τροχῷ, ὃν ϛρέφων τῷ ποδὶ, πλάττει διάφορα ἀγγεῖα, χύτρας, παροψίδας, τριβλία, στάμνους, πύθους, καὶ ἐκπώματα· εἶτα ἐν καμίνῳ θεὶς, σκληρύνει τῷ πυρί· καὶ περιβάλλει λιθαργύρῳ.

## ΟΖʹ. Περὶ Οἰσυουργοῦ.

Ὁ δὲ οἰσυουργὸς, περιζωννύμενος τῷ περιζωνίῳ, ἐκ λύγων, καὶ σανίδων, κάδους καὶ βίκους δύο ἔχοντας πυθμένας ποιεῖ· περιζωννύων τοῖς ἐκ λύγων στεφάνοις. Οὐμὴν ἀλλὰ καὶ ληνοὺς, καὶ λουτῆρας, καὶ ἀντλητήρια, πάντα ἕνα πυθμένα ἔχοντα, ποιεῖ.

## ΟΗʹ. Περὶ Σχοινοπλόκου, καὶ Ἱμαντουργοῦ.

Ὁ μὲν σχοινοπλόκος συμπλέκει τοὺς σχοίνους τῇ τοῦ τροχίσκου κινήσει, ἐκ στύπης ἢ καννάβεως, ἢ ἄλλης τινὸς τοιαύτης ὕλης· καὶ ἐκ τούτων ποιεῖ σχοινία, κάλως, καμήλους. Ὁ δὲ ἱμαντουργὸς σχίζει ἐκ τῆς βύρσης ἱμάντας, καὶ ποιεῖ χαλινοὺς, ζωστῆρας, ζώνας, πήρας· καὶ ὅσα ἄλλα ἐξ ἱμάντων γίνεται.

Ε.Υ. Δ.Π.Σ.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τοῦντας· καὶ ἐπὶ τῶν λοιπῶν νεωτερικῶν πραγμάτων, ὅσα παρὰ τοῖς παλαιοῖς οὐχ ὑπῆρχεν. Ἃ γὰρ παρήχησίν τινα ἔχει, εὐχερῆ τε εἰσὶ πρὸς ἀποδοχὴν, καὶ ὡς οἰκεῖά πως τῆς γλώσσης φαίνεται. Τοῦτ' αὐτὸ ἐποίησαν, οἶμαι, καὶ ἐκεῖνοι οἱ ἄνδρες, οἱ πρόγονοι ἡμῶν, εἰ ἀνασταῖεν. Τῶν δέ τοι τοιούτων οὐδὲν ἐν τῷ παρόντι ἐτέθη ὀνομαστικῷ, ἀναμένουσι καὶ περὶ τούτων τῶν νῦν ἐν Ἕλλησιν ἐνδόξων τὴν γνώμην.

ΤΕΛΟΣ.

Τὰ ὀνόματα τῶν φιλομούσων Συνδρομητῶν θέλουσι τυπωθῆ ἐν τῷ τελευταίῳ τόμῳ, ἐν οἰκείῳ τόπῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΙΑΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006